# ΤΟΜΟΣ ΠΕΜΠΤΟΣ.

Βασιλεύει δὲ μετ' αὐτὸν ὁ ἐκείνου ἀνεψιὸς, περὶ οὗ πλεῖστα ὁ λόγος φθάσας ἐδήλωσε· ἐπειδὴ γὰρ οἱ τοῦ αὐτοκράτορος ἀδελφοὶ μεταθησόμενον | αὐτὸν εὐθὺς ἔγνωσαν, καὶ ἀνέλπιστον αὐτῷ τὴν φ. 349. ζωὴν κατειλήφασαν[1], ἵνα μὴ ἀποδράσῃ τούτους τὰ πράγματα, μὴ δ' ἐφ' ἕτερον γένος ἡ βασιλεία μετατεθείη, πρὶν ἢ τὸν ἀδελφὸν ἀπολιπεῖν τὴν ζωὴν, πρόσταγμά τι δῆθεν βασίλειον τὴν εἰς ἀνάκτορα μετάβασιν ἐπιτρέπον ἐκπέμπουσι· καὶ ὁ μὲν αὐτοκράτωρ ἐξῄει τῶν βασιλείων, ὡς ὁ λόγος εἰρήκει, τελεσθησόμενος, ὁ δὲ πρὸς αὐτὰ ἀντεισῄει.

Τριῶν δὲ ὄντων τῶν τοῦ αὐτοκράτορος ἀδελφῶν, ὁ μὲν ὀρφανοτρόφος Ἰωάννης, ὃς δὴ καὶ τὸ ξύμπαν κράτος τηνικαῦτα διῴκει καὶ μᾶλλον τῶν ἄλλων ἠγαπήκει τὸν ἀδελφὸν, οὐδὲ θανόντος[2] ἐκείνου εὐθὺς ἀπαλλάττεται, ἀλλ' ὥσπερ ζῶντι τριταῖος συνῴκει τῷ τεθνεῶτι, οἱ δὲ περιλειπόμενοι δύο τῷ Καίσαρι ἀνεψιῷ εἰς τὰ βασίλεια συναπαίρουσι, τὸ μὲν ὡς φυλάξοντες ἐκεῖνον καὶ θεραπεύσοντες, τὸ δὲ ὡς πλείονα κτησόμενοι τὴν παρ' ἐκείνου εὐμένειαν· ἀλλ' οὐκ ἦν ἄνευ τοῦ μείζονος καὶ κρείττονος τὴν φρόνησιν ἀδελφοῦ γενναῖόν τι ἐκείνους ἢ περὶ τῆς βασιλείας ἐνθυμηθῆναι, ἢ περὶ τῆς τοῦ κοινοῦ καταστάσεως, ὅθεν οὐδὲν ἢ ὅτι μὴ συνῆσαν[3] ἐκείνῳ εὔνοιαν παραδεικνύντες συγγενικήν. Ἐπεὶ δὲ ἀρκούντως εἶχε τὸν θρῆνον ὁ Ἰωάννης, μᾶλλον δὲ ἐπειδὴ κἀκεῖνον ὑπέθραττε μὴ πολυήμερος ἡ ἀναβολὴ γενομένη τῆς ἀναρρήσεως τὰς πάσας αὐτοῖς συνεξαφανίσῃ ἐλπίδας, ἐπὶ τὰ βασίλεια μεταβαίνει.

Ταῦτα δὲ αὐτὸς ἑωράκειν, καὶ τοῖς ὀφθαλμοῖς τὴν ἀλήθειαν εἰληφὼς τῶν πραγμάτων ἀμεταποιήτως τῇ γραφῇ δίδωμι[4]. Ὡς γοῦν ἠκηκόεισαν ὅτι τὴν αὔλιον οὗτος καὶ βασιλικὴν εἰσεληλύθεν

1. γρ. κατειλήφεσαν. 2. χ. θάνατος. 3. χ. συνῶσαν. 4. χ. δίδωσι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ